


**Figure au fol. 233v à gauche, en bas**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

τροπήν. Ἐν δὲ ταῖς νυξὶν οὐ γίνονται οἱ ἐτησίαι, ὅτι, ψυχομένων τῶν νυκτῶν, παύεται ἡ ἐκ τῶν ὑγρῶν ἀναθυμίασις, τῶν πνευμάτων οὖσα αἰτία· γίνονται δὲ καὶ μετὰ τὰς χειμερινὰς τροπὰς ἐτησίαι, οὐ βορέαι, ἀλλὰ οἱ καλούμενοι λευκόνοτοι, ἀσθενέστεροι μέντοι τῶν ἐτησίων βορέων· ἑβδομηκοστῇ γὰρ ἡμέρᾳ μετὰ τὴν τοῦ ἡλίου τροπὴν πνεῖν ἄρχονται οὗτοι· οἱ δὲ βορέαι μετὰ τὴν θερινὴν τροπήν, εἰκοστῇ ἡμέρᾳ τὸ μήκιστον.

Ὅτι ἀπαρκτίας καὶ θρασκίας καὶ ἀργέτης οἱ κραταιότεροι καὶ αἰθρίας μᾶλλον ποιητικοί, ὡς ἐγγύτεροι ἡμῖν, καὶ διὰ τοῦτο παυστικοὶ τῶν πνευμάτων τῶν ἄλλων. Ἀπωθοῦσιν δὲ καὶ τὰ νέφη καὶ αἰθρίαν ποιοῦσιν. Ὁ δὲ καικίας συνελκυστικὸς τῶν νεφῶν.

Ὅτι τὸν σεισμὸν τῆς γῆς ὁ μὲν Ἀναξαγόρας ἔλεγε γίνεσθαι, τοῦ αἰθέρος ἐκπίπτοντος τοῖς κοίλοις αὐτῆς· καὶ ταύτην τὴν δόξαν ἠλιθίαν

Ε.Υ. Δήμος Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f. 234 εἶναι φησὶ καὶ εὐέλεγκτον, τῆς γῆς μὲν τὸ ἔσχατον | καὶ μέσον τῆς γῆς ἐχούσης, τοῦ δὲ πυρὸς τὸν ἄνω τόπον ἔχοντος καὶ τῶν κούφων πάντων, καὶ ἔτι τῆς γῆς, κατ' αὐτὸν Ἀναξαγόραν, βαρυτάτης οὔσης διὰ μεγέθους ὑπερβολὴν καὶ οὐκ ἂν δυνηθείσης ὑπὸ βραχείας οὕτως αἰτίας κινεῖσθαι ὅλης· οὕτω γὰρ ἔλεγεν. Δημόκριτος δὲ τῇ μεταπτώσει τῶν ὑδάτων ἀπὸ μερῶν τῆς γῆς εἰς μέρη σείεσθαι αὐτὴν ἔλεγεν. Ἀναξιμένης δὲ ἔλεγεν, ὅτι βρεχομένη, εἶτα ξηραινομένη ῥήγνυται καὶ κατασπᾶται τοῖς ὄμβροις, κἀντεῦθεν σείονται τὰ μέρη αὐτῆς ἄλλοθι καὶ ἄλλοτε ἄλλως· τοιοῦτο δέ τι οὐδαμοῦ τῇ αἰσθήσει γνώριμον. Ἐκείνους ἐλέγξας τὴν οἰκείαν τίθησι δόξαν, ὅτι πνεῦμα τῶν σεισμῶν ἐστιν αἴτιον εἴσω τῆς γῆς ῥυὲν ἐκ πολλῆς ἀναθυμιάσεως· οὗ σημεῖον τό, νηνεμίας οὔσης, τοὺς σεισμοὺς γίνεσθαι ἐπὶ τὸ πλεῖστον. Εἴσω γὰρ γενομένης τῆς φορᾶς τοῦ πνεύματος πάσης, ἔξω νηνεμία ἐστίν. Ἐνίοτε δὲ καὶ πνεόντων ἔξω ἀνέμων, πλὴν ὀλίγων, σεισμὸς γίνεται, μερισθείσης τῆς ἀναθυμιάσεως πολλῆς οὔσης. Καὶ ἐν μὲν τῇ μεσημβρίᾳ γίνονται, ὡς ἐπὶ τὸ πολύ, διότι τότε ἡ ἀναθυμίασις συνωθεῖται ἐντός, καὶ νηνεμία διὰ τοῦτό ἐστιν ἔξω. Ἐν δὲ ταῖς νυξὶ μᾶλλον ἢ ταῖς ἡμέραις, διὰ τὸ νηνεμωτέρας εἶναι τὰς νύκτας τῇ τῆς σελήνης ἀπουσίᾳ· διὸ καὶ αἱ ἀναθυμιάσεις καὶ μάλιστα ἐν τοῖς ὄρθροις διὰ τὸ τὰ πνεύματα τότε ἄρχεσθαι πνεῖν. Γίνονται δὲ μάλιστα οἱ σεισμοὶ ἐν τοῖς σομφοῖς καὶ ὑπάντροις τόποις καὶ ἔνθα ἡ θάλασσά ἐστι ῥοώδης, διότι ἐκεῖ καὶ πλείους ἄνεμοι χωροῦσιν καὶ ὠθούμενοι τῷ ὕδατι τῆς θαλάττης ἀντωθοῦσι τὴν γῆν. Ἔαρι δὲ καὶ μετοπώρῳ μάλιστα γίνονται διὰ τὸ εὐκινητοτέραν εἶναι τότε τὴν ἀναθυμίασιν, τοῦ χειμῶνος ψύχει πηγνύντος αὐτήν, τοῦ δὲ θέρους ξηραίνοντος· καὶ βιαζόμενον πολλάκις τὸ πνεῦμα τῇ στενότητι τῆς γῆς πυρούμενον ἀναδίδοται. Ἐνίοτε δὲ καὶ ὁ ἥλιος ἀχλυώδης καὶ ἔγκαιρος φαίνεται, τῶν ἀναθυμιάσεων ἐξιουσῶν ἐκ γῆς παχυτέρων ἐν τοῖς σεισμοῖς καὶ τὸν ἀέρα παχυνουσῶν. Γίνεται δέ ποτε καὶ κατὰ τὴν ἔκλειψιν τῆς σελήνης ὁ σεισμός, ὅταν ἡ κίνησις τῶν πνευμάτων προσλάβῃ τὴν ἔκλειψιν. Ὁ δὲ ἰσχυρὸς σεισμὸς τὴν ἀρχὴν μὲν ἐπικρατεῖ ἡμέρας ἐνίοτε τεσσαράκοντα· ἐπισυμβαίνει δ' ὕστερον καὶ εἰς δύο ἔτη πολλάκις γινόμενος, τοῦ πνεύματος διὰ πλῆθος μὴ ῥᾳδίως ἀναλογουμένου μηδὲ διακρινομένου, καὶ διὰ τοῦτο κράτος ἔχοντος πρὸς τὸ κινεῖν, ὅπερ ἐν τόποις ἀντιτύποις καὶ ποικίλοις γίνεται καὶ διεξόδοις. Προβαίνοντες δέ, ἠρεμώτεροι γίνονται διὰ τοῦτο, δαπανωμένης κατὰ μικρὸν τῆς τοῦ πνεύματος βίας. Γίνονται δὲ καὶ ψόφοι πρὸ τῶν σεισμῶν ἐνίοτε τῷ πνεύματι, καὶ ὕδατα ἀναρρήγνυνται ἔστιν ὅτε, κινούμενα ὑπὸ τῶν πνευμάτων, ὡς ἐν θαλάσσῃ τὰ κύματα. Καὶ ἐπικλύσεις γίνονται ἐνίοτε θαλάσσης τῇ ἀντωθήσει τοῦ ἐκ θαλάσσης πνεύματος καὶ τοῦ ἐκ γῆς
f. 234v σειομένης, ἐπικρατήσαντος τοῦ θαλαττίου. | Καὶ τῶν σεισμῶν οἱ μέν εἰσιν ὥσπερ τρόμοι κατὰ πλάτος κινοῦντες διὰ τὸ πολὺ πνεῦμα ἔχειν· οἱ δὲ

Ε.Υ. Ζήσης κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εἰσιν οἷον σφυγμοὶ ἀπὸ βάθους ἄνω κινοῦντες· ἀραιῶς δὲ οὗτοι γίνονται· οἱ δ' ἄλλοι συχνοτέρως. Ἧττον δὲ γίνονται ἐν ταῖς νήσοις ταῖς ἐν μέσῳ τοῦ Πόντου, διότι αἱ ἀναθυμιάσεις ἅμα τε ὑγραίνονται καὶ καταψύχονται τῇ θαλάττῃ καὶ οὐκ ἀναδίδονται ὡς ἐν τῇ γῇ· κωλύει δὲ αὐτὰς καὶ τὸ πολὺ βάρος τοῦ ὑγροῦ ἐπικείμενον. Ἔτι καὶ διόλου πνεύμασιν εἴωθε κινεῖσθαι ἡ θάλασσα· δεῖ καὶ νηνεμίας ἐπὶ τῶν σεισμῶν· τὰ γὰρ ἠρεμοῦντα καὶ σείεται καὶ αἴσθησιν δίδωσι σεισμῶν· τὰ δ' ἀεὶ κινούμενα πῶς ἂν καὶ διακρίνοιντο σείεσθαι; Αἱ δὲ ἐγγὺς τῆς Ἠπείρου νῆσοι μόρια σχεδὸν εἰσι ταύτης, τοῦ μεταξὺ ὀλίγου ὄντος, καὶ διὰ τοῦτο τὰ αὐτὰ ταῖς ἠπείροις πάσχουσιν.

Ὅτι ἡ ἀπὸ τῆς γῆς ἀναθυμίασις ὑγρὰ ἄνεισι καὶ εἰς νέφος συνίσταται, καὶ ὅσον μὲν αὐτῆς θερμότερον εἰς τὸν ἄνω τόπον ἐκκρίνεται· ἐμπεριλαμβανόμενον δέ τι κάτωθεν ἐν τῇ ψυχροτέρᾳ συστάσει τῆς πυκνουμένης ἀναθυμιάσεως, φέρεται βίᾳ κάτω καὶ ποιεῖ πληγὴν ἐμπῖπτον οἷς περιέχεται νέφεσι, καὶ ὁ ἀπὸ τῆς πληγῆς ψόφος ἐστὶν ἡ βροντή. Τὸ μέντοι πνεῦμα αὐτὸ ἐκθλιβόμενον οὕτω πυροῦται λεπτῇ τινι πυρώσει, καὶ καλεῖται ἀστραπή, ὕστερον μὲν ὂν τῆς βροντῆς καὶ μετὰ τὴν πληγήν, προορώμενον δὲ διὰ τὸ ταχύτερον τῆς ὄψεως· ὄψις μὲν γὰρ ἀχρόνως ἀντιλαμβάνεται τοῦ ὁρατοῦ· ἡ δ' ἀκοὴ χρόνῳ, διὰ τοῦ ἀέρος ἰούσης τῆς ἐν τῇ πλήξει ψοφήσεως, ὥσπερ ἐν ταῖς κωπηλασίαις πρότερον μὲν ὁρῶνται αἱ κῶπαι πλήττουσαι τὸ ὕδωρ· ἀκούονται δὲ ὕστερον οἱ ψόφοι, καίτοι γε ὁμοῦ γινομένων. Ἐλέγχει δὲ καὶ τὴν Ἐμπεδοκλέους δόξαν περὶ αὐτῶν καὶ τὴν Ἀναξαγόρου καὶ Κλειδήμου. Οὐκοῦν ἡ αὐτὴ φύσις, ἡ ἀναθυμίασις δηλονότι, κατὰ Ἀριστοτέλη, ὑπὲρ μὲν τὴν γῆν ἀνέμων ἐστὶν αἰτία, ὑπὸ δὲ γῆν σεισμῶν, ἐν δὲ ἀέρι καὶ νέφεσι, βροντῶν τε καὶ ἀστραπῶν.

## Sur le livre III.

Ὅτι τὸ πνεῦμα λεπτὸν καὶ διατετμημένον μέν, ἐκκρινόμενον τῆς πυκνώσεως τῶν νεφῶν, βροντάς, ὡς εἴρηται, καὶ ἀστραπὰς ποιεῖ διαχεόμενον καὶ διαπνέον· ὅταν δὲ πυκνότερον ἐκκρίνηται καὶ ἀδιάτμητον, ἐκνεφίας ἄνεμος γίνεται καὶ φέρεται ῥηγνύμενος βιαίως, τῷ τάχει τῆς ἐκκρίσεως μάλιστα ἰσχύων, ὥσπερ ὁ ὑετὸς ὄμβρου διενήνοχεν ὕδατος πλήθει καὶ πυκνότητι καὶ βιαίῳ φορᾷ. Ὅταν δὲ τὸ ἐκ τῶν νεφῶν ἐκκρινόμενον πνεῦμα ἑτέρῳ ἀντιτυποῦντι διϊὸν ἐμπέσῃ νεφώδει συστήματι, ὁ τυφὼν γίνεται. Καὶ ἔστιν οἷον ἄνεμος ἐκνεφίας ἄπεπτος ὁ τυφών, μὴ δυνάμενος καθάπαξ ἐκκριθῆναι τοῦ νέφους, διὰ μέν γε ] τὴν ἀντίκρουσιν f. 235
ἕλικα τὴν ἀρχὴν ἐξιὼν ποιούμενος, μετὰ δίνης κάτω ἐπὶ τὴν γῆν φέρεται, καὶ ᾗ ἂν κατ' εὐθυωρίαν γένηται, στρέφει καὶ ἀναφέρει τὸ προστυχὸν ᾧ

27 Titre grec omis dans A. Parait avoir été effacé.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἂν προσπέσῃ, εἴτε ὕδωρ, εἴτε λίθον, ἢ ἄλλο τι βίᾳ συμπεριελίσσων καὶ ἀντισπῶν κάτωθεν καὶ ἀνέλκων. Ὅταν μὲν οὖν ἀχρωμάτιστον κάτω φέρηται τὸ πνεῦμα, τυφὼν καλεῖται· ὅταν δὲ καὶ ἐκπυρωθῇ, πρηστήρ. Ἐκπυροῦται δὲ ὅταν ᾖ λεπτότερον. Ὅταν δὲ καὶ μᾶλλον λεπτὸν ᾖ, κεραυνός ἐστι καὶ καλεῖται, τῷ μὲν λεπτῷ καὶ πυρώδει ἐοικὼς τῇ ἀστραπῇ, τῷ δὲ συνεχεῖ ὡς ὁλοσχερεῖ διαφέρων· ἐκείνη γὰρ κατὰ μέρος καὶ σποράδην καὶ διατετμημένη ἐκκρίνεται. Ὁ κεραυνὸς οὖν ἐκ μὲν λεπτοῦ πνεύματος ὤν, δίεισιν ἀπροσκόπτως καὶ οὐ καίει τὸ προστυχόν, ὃν καὶ ἀργῆτα καλοῦσιν, ὥσπερ τὸν μετρίως καίοντα, ψολόεντα. Οὗτος δὲ ὁ ψολόεις, διὰ τὸ παχύτερον τοῦ ἀργῆτος εἶναι, ἐκπυροῖ μὲν τὸ προστυχὸν καὶ χώννυσιν ἐπικαίων. Φθάνει δὲ ἢ καῦσαι παντάπασι παριών, ἀντιτύποις δὲ προσπεσών, πλεῖον ἐν αὐτοῖς δρᾷ. Ἐμπεσὼν γὰρ ἐν ἀσπίσι, τὸν μὲν χαλκὸν ἔτηξε, τὸ δὲ ξύλον διῆλθεν ἁπλῶς μανώτερον ὄν. Ὅθεν πνεύματά εἰσιν, ἀλλ' οὐ λίθοι ῥιπτόμενοι, ὥς τινες ἠλιθίως ἔφησαν. Καὶ ἱματίοις δὲ πολλάκις ἐμπεσὼν κεραυνός, ὁ τοιοῦτος τρόχος μὲν ἐμποιεῖ καταναλίσκων τὴν κρόκην, οὐ καίει δὲ παντάπαιν. Καὶ ὅτι προέρχεται πνεῦμα τοῦ κεραυνοῦ, κἂν μὴ βλέπηται· ὅθεν τὸ πληγησόμενον ὑπὸ κεραυνοῦ πρὸ τοῦ πληγῆναι ὁρᾶται κινούμενον· οὕτω καὶ βροντῶν καὶ ἀστραπῶν γινομένων, διΐστανται ἐνίοτε καὶ ῥήγνυνται λίαν καὶ ἄλλα πεπυκνωμένα, διότι συνεκκρίνεται αὐτοῖς καὶ προσεμπῖπτον τοῖς πάσχουσι πνεῦμα, ὃ καὶ τὸν ψόφον καὶ τὴν πληγὴν ποιεῖ.

Ὅτι ἡ ἅλως καὶ ἡ ἶρις καὶ οἱ παρήλιοι καὶ αἱ ῥᾶβδοι σπανίως ἐν νυκτὶ γίνονται διὰ τὸ ἐν νυκτὶ μὴ δηλοῦσθαι ῥᾳδίως τὰ χρώματα τὰ ἐν τῇ ἴριδι· παρήλιον δὲ καὶ ῥάβδον περὶ τὸν ἥλιον γίνεσθαι, ὃς οὐ φαίνεται ἐν νυκτί. Ταῦτα δὲ πάντα δι' ἀνάκλασιν ὁρᾶται διαφέροντα τοῖς τόποις καθ' οὓς γίνονται αἱ ἀνακλάσεις. Ἔστι δὲ ἡ μὲν ἅλως κυκλοτερής, ἄν τε περὶ ἥλιον, ἄν τε περὶ σελήνην ᾖ, ἢ ἄλλο τι τῶν λαμπρῶν ἀστέρων. Καὶ ἡ μὲν σύστασις αὐτῆς καὶ σύγκρισις ἐπομβρίας σημεῖον· αἱ δὲ διασπάσεις τῆς ἀτμίδος εἰς νέφος συνούσης πνευμάτων· αἱ δὲ μαράνσεις, εὐδίας καὶ ἀλέας. Εἶτα καὶ κατὰ τοὺς μαθηματικούς, οὐ κατὰ τὴν ἰδίαν δόξαν, τὸ κυκλικὸν τῆς κατὰ τὴν ἅλω ἀνακλάσεως δείκνυσιν ἐκ διαγράμματος. Φησὶ δὲ καὶ πῶς τῇ γῇ γίνεσθαι τὴν ἅλω· ὅτι νηνεμωτέρα τὰ πρόσγεια· τὰ γὰρ πνεύματα διΐστῶσι ταύτας καὶ οὐκ ἐῶσι συνιέναι. Καὶ πλεονάκις ἅλως περὶ τὴν σελήνην ἢ τὸν ἥλιον φαίνεται, τοῦ ἐν τῷ ἡλίῳ πλείστου
f. 235v θερμοῦ οὐκ ἐῶντος τὰς συστάσεις ταύτας γίνεσθαι, | διακρίνοντος δὲ μᾶλλον. Γίνονται δὲ αἱ ἅλωνες καὶ περὶ ἀστέρας, ἀλλ' οὐ σημεῖα παρέχουσιν ὑδάτων, ἢ πνευμάτων, ἢ εὐδίας, ὡς ἐπὶ ἡλίου καὶ σελήνης, ἀπὸ συστάσεων μικρῶν καὶ λεπτοτέρων γινόμεναι καὶ οὐχ ἑτοίμων πρὸς τὸ ποιεῖν μεταβολάς.

Ὅτι ἡ ἶρις ἔμφασίς ἐστι τῆς τοῦ ἡλίου περιφερείας δι' ἀνακλάσεως

Ε.Υ.Δ.Φ.Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γινομένη, ὅταν ἐπεναντίας ὅ τε ἥλιος καὶ τὸ νέφος ὦσιν, καὶ ἡμεῖς τῷ μὲν μεταξύ, καὶ πολλὰ δὲ περὶ τῶν αὐτῆς χρωμάτων διέξεισι καὶ τῆς τριττῆς ἐν ταύτῃ περιφερείας· καὶ ὅτι ἀδύνατον γενέσθαι τὸ σχῆμα τῆς ἴριδος τέλειον κύκλον, ἢ τμῆμα μεῖζον ἡμικυκλίου· καὶ ὅτι ἐὰν μὲν ὁ ἥλιος ἐπ' ἀνατολῆς, ἢ δύσεως ᾖ, ἡ ἀνάκλασις τὴν ἴριδα ἡμικύκλιον ποιεῖ· ἐὰν δὲ ὑψηλότερον ᾖ ὁ ἥλιος τοῦ ὁρίζοντος ἢ κατὰ τὴν ἀνατολήν, ἢ τὴν δύσιν, ἐλάττων ἡμικυκλίου ἡ ἶρις ὁρᾶται, καὶ ἔτι μάλιστα ἐλάττων, ὅσον ὑπὲρ τὸν ὁρίζοντα πλέον ὁ ἥλιός ἐστιν. Εἰ δὲ ἐν μεσημβρίᾳ, καὶ ἐλαχίστη. Εἶτα καὶ περὶ τοῦ ἐν ποίοις μέρεσι τοῦ ἐνιαυτοῦ μᾶλλον εἰώθασιν αἱ ἴριδες φαίνεσθαι.

Εἶτα καὶ περὶ τῶν ὑπὸ γῆν ἐκκρίσεων διαλαμβάνει ἤγουν τῶν τε ὀρυκτῶν καὶ μεταλλευτῶν, ὧν τὰ μὲν ὀρυκτὰ ὑπὸ τῆς ξηρᾶς ἀναθυμιάσεως γίνεται, οἷα τὰ παντοῖα γένη τῶν λίθων, καὶ ἡ σανδαράκη καὶ ἡ ὤχρα καὶ τὸ μίλτον καὶ τὸ θεῖον καὶ τὸ κινάβαρι. Τὰ δὲ μεταλλευτὰ τῆς ἀτμιδώδους ἀναθυμιάσεώς εἰσιν, οἷον τὰ χυτά, ἢ ἐλατά, οἷον σίδηρος, χαλκός, χρυσὸς καὶ ὅσα τοιαῦτα. Περὶ δὲ τῶν ὀρυκτῶν καὶ μεταλλευτῶν ἰδίαν ἐπίσκεψιν ἐπαγγέλλεται ποιήσειν, ἥτις οὐχ εὕρηται. Ὁ δὲ διάδοχος αὐτοῦ Θεόφραστος πραγματείαν περὶ μεταλλευτῶν ἐποιήσατο, καὶ ἐν ἄλλοις συγγράμμασι περὶ τῶν τίκτων τὴν ἐπαγγελίαν τοῦ καθηγέμονος ἀναπληροῖ, ὡς ἔοικεν, ἐκείνου πρὶν πληρῶσαι ἀπογενομένου: †

## Sur le livre IV.

Ὅτι τεσσάρων γενικῶν καὶ καθόλου ἁπτῶν ποιοτήτων οὐσῶν, τοῦ τε θερμοῦ καὶ ψυχροῦ, καὶ τοῦ ξηροῦ καὶ ὑγροῦ, αἳ μὲν δύο εἰσὶ ποιητικαί, τὸ θερμὸν καὶ τὸ ψυχρόν, τὸ δὲ ξηρὸν καὶ ὑγρὸν πρακτικαί. Θερμότης μὲν γὰρ καὶ ψυχρότης διορίζουσί τε καὶ συνδέουσιν, ὃ ποιητικῆς ἐστι δυνάμεως· τὸ γὰρ πῦρ, θερμὸν ὄν, διορίζει μὲν. τὰ ἀνομοιομερῆ, οἷον ἐν τῇ χωνείᾳ ἀπὸ τοῦ χρυσοῦ διορίζει τὸν ἄργυρον καὶ χαλκὸν καὶ τ' ἄλλα ὡς ἀλλότρια· ἑνοῖ δὲ τὰ μέρη αὐτῶν ἀλλήλοις. Τὸ δὲ ψυχρόν, ὁ πάγος, ἑνοῖ καὶ συνάπτει πηγνύων οὐ τὰ ὁμοιογενῆ μόνον, ἀλλὰ καὶ τὰ ἀνόμοια. Καὶ μαλάττουσι δὲ αὖ καὶ σκληρύνουσι καὶ ξηραίνουσι τὸ θερμὸν καὶ ψυχρόν· τὰ δὲ ξηρὰ καὶ ὑγρὰ ὑπ' αὐτῶν ὡς ποιητικῶν πάσχει. Δῆλον δὲ καὶ ἐκ τῶν λόγων· συγκριτικὰ γὰρ καλοῦνται τὸ θερμὸν καὶ ψυχρόν· τὸ δὲ συγκριτικὸν ποιητικόν ἐστι· καὶ αὖ τὸ μὲν ὑγρὸν εὐόριστον φύσει, τὸ δὲ ξηρὸν δυσόριστον. Ταῦτα δὲ ἐν τῷ πάσχειν θεωρεῖται.*

21 Titre grec om A 27 *διορίζει* répété A 31 *ὑπ' αὐτῶν* répété A
34 * Après *θεωρεῖται*, qui finit le fol. 235 v du Vatic. 115, il y a solution de continuité dans le manuscrit, dont des feuilles ont dû se perdre. Ce qui suit, à partir du fol. 236 r, paraît appartenir à un recueil de notes séparées sur divers sujets. Ces notes sont-elles de Scholarios? Leur authenticité n'est pas sûre.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# V.

# Fragments divers.*

f. 236 . . . ἥδη. Ἔτι, τούτων μᾶλλον αἱ βλαβεραὶ ἀλλοιώσεις καὶ κινήσεις, καὶ μάλιστα αἱ λυπηραὶ βλάβαι. Ἔτι, τὰ μεγέθη τῶν ἡδέων καὶ λυπηρῶν πάθη λέγεται.

## De la privation.

### Περὶ στερήσεως.

Στέρησις λέγεται, ἕνα μὲν τρόπον, ἂν μὴ ἔχῃ τι τῶν πεφυκότων ἔχεσθαι, κἂν μὴ αὐτὸ ᾖ πεφυκὸς ἔχειν, οἷον φυτὸν ὀμμάτων ἐστερῆσθαι λέγεσθαι· ἕνα δέ, ἐὰν πεφυκὸς ἔχειν ἢ αὐτό, ἢ τὸ γένος, μὴ ἔχῃ, οἷον ἄλλως ἄνθρωπος ὁ τυφλὸς ὄψεως ἐστέρηται, καὶ ἀσπάλαξ, τὸ μὲν κατὰ τὸ γένος, τὸ δὲ καθ' αὑτό. Ἔτι, ἐὰν πεφυκός, καὶ ὅτε πέφυκεν ἔχειν, μὴ ἔχῃ· ἡ γὰρ τυφλότης στέρησίς ἐστι· τυφλὸς δὲ οὐ κατὰ πᾶσαν ἡλικίαν, ἀλλ' ἐν ᾗ πέφυκεν ἔχειν, ἂν μὴ ἔχῃ· ὁμοίως δὲ καὶ ἐν ᾧ ἄν, ἢ καὶ καθό, ἢ καὶ πρὸς ὅ, καὶ ὡς ἂν μὴ ἔχῃ πεφυκός· ἐν ᾧ, οἷον ἐν τῷ φωτί· καθό, οἷον κατὰ τὸ δεκτικόν· καὶ πρὸς ὅ, οἷον τὸ ὁρατόν· καὶ ὡς ἄν, οἷον τὰ ἔμπροσθεν καὶ τὰ πλησίον. Ἔτι, ἡ βιαία ἑκάστου ἀφαίρεσις στέρησις λέγεται· καὶ ὁσαχῶς δὲ αἱ ἀπὸ τοῦ πρώτου ἀποφάσεις λέγονται, τοσαυταχῶς καὶ αἱ στερήσεις λέγονται· ἄνισον μὲν γὰρ τῷ μὴ ἔχειν ἰσότητα πεφυκὸς λέγεται· ἀόρατον δέ, καὶ τῷ μὴ ὅλως ἔχειν χρῶμα, καὶ τῷ φαύλως· καὶ ἄπουν, καὶ τῷ μὴ ἔχειν ὅλως πόδας, καὶ τῷ φαύλως· ἔτι, καὶ τῷ μικρὸν ἔχειν, οἷον τὸ ἀπύρηνον· τοῦτο δ' ἔστι τὸ φαύλως πως ἔχειν· ἔτι, τὸ μὴ ῥᾳδίως, ἢ τὸ μὴ καλῶς, οἷον ἀτμίζον οὐ μόνον τῷ μὴ τέμνεσθαι, ἀλλὰ καὶ τῷ μὴ ῥᾳδίως, ἢ μὴ καλῶς· ἔτι, τῷ πάντῃ μὴ ἔχειν· τυφλὸς γὰρ οὐ λέγεται ὁ ἑτερόφθαλμος, ἀλλ' ὁ ἐν ἀμφοῖν μὴ ἔχων ὄψιν· διὸ οὐ πᾶς ἀγαθός, ἢ κακός, ἢ δίκαιος, ἢ ἄδικος, ἀλλὰ καὶ μεταξύ.

## De la possession.

### Περὶ τὸ ἔχειν.

Τὸ ἔχειν λέγεται πολλαχῶς· ἕνα μὲν τρόπον, τὸ ἄγειν κατὰ τὴν αὑτοῦ φύσιν, ἢ κατὰ τὴν αὑτοῦ ὁρμήν· διὸ λέγεται πυρετός τε ἔχειν τὸν ἄνθρωπον καὶ οἱ τύραννοι τὰς πόλεις, καὶ τὴν ἐσθῆτα οἱ ἀμπεχόμενοι· ἕνα δέ, ἐν ᾧ ἄν τι ὑπάρχοι ὡς δεκτικῷ, οἷον ὁ χαλκὸς ἔχει τὸ εἶδος τοῦ ἀνδριάντος, καὶ τὴν νόσον τὸ σῶμα· ἕνα δέ, ὡς τὸ περιέχον τὰ περιεχόμενα· ἐν ᾧ γάρ ἐστι περιεχόμενόν τι, ἔχεσθαι ὑπ' ἐκείνου λέγεται, οἷον τὸ ἀγγεῖον ἔχειν τὸ ὑγρὸν φαμέν, καὶ τὴν πόλιν ἀνθρώπους, καὶ τὴν

14-15 *οἷον ἐν τῷ — τὰ πλησίον*, **dans la marge gauche A**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ναῦν ναύτας· οὕτω δὲ καὶ τὸ ὅλον ἔχειν τὰ μέρη. Ἔτι, τὸ κωλῦον κατὰ τὴν αὐτοῦ ὁρμήν τι κινεῖσθαι ἢ πράττειν, ἔχειν λέγεται τοῦτο ταῦτα, οἷον καὶ οἱ κίονες τὰ ἐπικείμενα βάρη, καὶ ὡς οἱ ποιηταὶ ποιοῦσιν Ἄτλαντα τὸν οὐρανὸν ἔχειν, ὡς συμπεσόντα ἂν ἐπὶ τὴν γῆν, ὥσπερ καὶ τῶν φυσιολόγων | τινές φασι. Τοῦτον δὲ τὸν τρόπον καὶ τὸ συνέχον ἃ συνέχει f. 236v ἔχειν λέγεται, ὡς διαχωρισθέντα ἂν κατὰ τὴν αὐτοῦ ὁρμὴν ἕκαστον. Καὶ τὸ ἔν τινι δὲ εἶναι ὁμοιοτρόπως πως λέγεται καὶ ἑπομένως τῷ ἔχειν.

## De l'origine.

### Περὶ ἔκ τινος.

Τὸ ἔκ τινος εἶναι λέγεται ἕνα μὲν τρόπον, ἐξ οὗ ἐστιν ὡς ὕλης, καὶ τοῦτο διχῶς· ἢ κατὰ τὸ πρῶτον γένος, ἢ κατὰ τὸ ὕστατον εἶδος, οἷον ἔστι μὲν ὡς ἅπαντα τηκτὰ ἐξ ὕδατος· ἔστι δ' ὡς ἐκ χαλκοῦ ὁ ἀνδριάς· ἕνα δ' ὡς ἐκ τοῦ πρώτου κινήσαντος, οἷον ἐκ τῆς λοιδορίας ἡ μάχη, ὅτι αὕτη ἀρχὴ τῆς μάχης· ἕνα δ' ἐκ τοῦ συνθέτου ἐκ τῆς ὕλης καὶ τῆς μορφῆς, ὥσπερ ἐκ τοῦ ὅλου τὰ μέρη, καὶ ἐκ τῆς Ἰλιάδου τὸ ἔπος, καὶ ἐκ τῆς οἰκίας οἱ λίθοι· τέλος μὲν γάρ ἐστιν ἡ μορφή· τέλειον δὲ τὸ ἔχον τέλος· τὰ δὲ ὡς ἐκ τοῦ μέρους τὸ εἶδος, οἷον ὁ ἄνθρωπος ἐκ τοῦ οἱ δίποδες, καὶ ἡ συλλαβὴ ἐκ τοῦ στοιχείου· ἄλλως γὰρ τοῦτο καὶ ὁ ἀνδριὰς ἐκ χαλκοῦ· ἐκ τῆς αἰσθητῆς γὰρ ὕλης ἡ συνθέτη οὐσία, ἀλλὰ καὶ τὸ εἶδος ἐκ τῆς τοῦ εἴδους ὕλης. Τὰ μὲν οὕτω λέγεται τὰ δέ, ἂν κατὰ μέρος τι τούτων τις ὑπάρχῃ τῶν τρόπων, οἷον ἐκ πατρὸς καὶ μητρὸς τὸ τέκνον, καὶ ἐκ γῆς τὰ φυτά, ὅτι ἔκ τινος μέρους αὐτῶν· ἕνα δέ, μεθ' ὃ τῷ χρόνῳ, οἷον ἐξ ἡμέρας νύξ, καὶ ἐξ εὐδίας χειμών, ὅτι τοῦτο μετὰ τοῦτο. Τούτων δὲ τὰ μὲν τῷ ἔχειν μεταβολὴν εἰς ἄλληλα οὕτω λέγεται, ὥσπερ καὶ τὰ νῦν εἰρημένα· τὰ δὲ τῷ κατὰ χρόνον ἐφεξῆς μόνῳ, οἷον ἐξ ἰσημερίας ἐγένετο πλοῦς, ὅτι μετ' ἰσημερίαν ἐγένετο· καὶ ἐκ Διονυσίων Θαργήλια, ὅτι μετὰ Διονύσια.

## De la partie.

### Περὶ τοῦ μέρους.

Μέρος λέγεται, ἕνα μὲν τρόπον, εἰς ὃ διαιρεθείη αὐτὸ ποσὸν ὁπωσοῦν· ἐκεῖ γὰρ τὸ ἀφαιρούμενον τοῦ ποσοῦ, ᾗ ποσόν, μέρος λέγεται ἐκείνου, οἷον τῶν τριῶν τὰ δύο μέρος λέγεταί πως· ἄλλον δὲ τρόπον, τὰ καταμετροῦντα τῶν τοιούτων μόνον· διὸ τὰ δύο τῶν τριῶν ἔστι μὲν ὡς λέγεται μέρος, ἔστι δ' ὡς οὔ· ἔτι, εἰς ἃ τὸ εἶδος διαιρεθείη ἂν ἄνευ τοῦ ποσοῦ, καὶ ταῦτα μόρια λέγεται τούτου· διὸ τὰ εἴδη τοῦ γένους φαμὲν εἶναι μόρια· ἔτι, εἰς ἃ διαιρεῖται, ἢ ἐξ ὧν σύγκειται τὸ ὅλον, ἢ τὸ εἶδος, ἢ τὸ ἔχον τὸ εἶδος, οἷον τῆς σφαίρας τῆς χαλκῆς, ἢ τοῦ κύβου τοῦ χαλκοῦ



Ε.Γ.ΔΗΜ.Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

καὶ ὁ χαλκὸς μέρος· τοῦτο δ' ἔστιν ἡ ὕλη, ἐν ᾗ τὸ εἶδος, ὡς ἡ γωνία μέρος· ἔτι τὰ ἐν τῷ λόγῳ τῷ δηλοῦντι ἕκαστον, καὶ ταῦτα μόρια τοῦ ὅλου· διὸ τὸ γένος τοῦ εἴδους καὶ μέρος λέγεται· ἄλλως δὲ τὸ εἶδος τοῦ γένους μέρος.

## De la perfection.

### Περὶ τοῦ τελείου.

f. 237 | Τὸ τέλειον λέγεται ἓν μὲν οὗ μὴ ἔστιν ἔξω λαβεῖν μηδὲ ἓν μόριον, οἷον χρόνος τέλειος ἑκάστου ὄντος, οὗ μὴ ἔστιν ἔξω λαβεῖν χρόνον τινά, ὃς τούτου μέρος ἐστὶ τοῦ χρόνου· καὶ τὸ κατ' ἀρετὴν καὶ τὸ τοῦ εὖ μὴ ἔχον ὑπερβολὴν πρὸς τὸ γένος, οἷον τέλειος ἰατρός, καὶ τέλειος αὐλητήρ, ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηδὲν ἐλλείπωσιν. Οὕτω δὲ μεταφέροντες καὶ ἐπὶ τῶν κακῶν λέγομεν συκοφάντην τέλειον, καὶ κλέπτην τέλειον, ἐπειδὴ καὶ ἀγαθοὺς λέγομεν αὐτοὺς οἷον κλέπτην ἀγαθὸν καὶ συκοφάντην ἀγαθόν. Καὶ ἡ ἀρετὴ τελείωσίς τίς ἐστιν· ἕκαστον γὰρ τότε τέλειόν τι, καὶ ἡ οὐσία πᾶσα τότε τελεία, ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηδὲν ἐλλείπῃ μόριον τοῦ κατὰ φύσιν μεγέθους. Ἔτι οἷς ὑπάρχει τὸ τέλος σπουδαῖον, ταῦτα λέγεται κατὰ τὸ ἔχειν τέλος τέλεια· ὥστε, ἐπεὶ τὸ τέλος τῶν ἐσχάτων τί ἐστιν, καὶ ἐπὶ τὰ φαῦλα μεταφέροντες λέγομεν τελείως ἀπολωλέναι, καὶ τελείως ἐφθάρθαι, ὅταν μηδὲν ἐλλείπῃ τῆς φθορᾶς καὶ τοῦ κακοῦ, ἀλλ' ἐπὶ τῷ ἐσχάτῳ ᾖ· διὸ καὶ ἡ τελευτὴ κατὰ μεταφορὰν λέγεται τέλος, ὅτι ἄμφω ἔσχατα. Τέλος δὲ καὶ τὸ οὗ ἕνεκα ἔσχατον. Τὰ μὲν οὖν καθ' αὑτὸ λεγόμενα τέλεια τοσαυταχῶς λέγεται, τὰ μὲν τῷ κατὰ τὸ εὖ μηδὲν ἐλλείπειν, μηδὲ ἔχειν ὑπερβολὴν ἐν ἑκάστῳ γένει, μηδ' ἔξω τι λαβεῖν· τὰ δ' ἄλλως, κατὰ τὸ μὴ ἔχειν ὑπερβολὴν ἐν ἑκάστῳ γένει, μηδ' ἔξω τι λαβεῖν· τὰ δὲ ἄλλα ἤδη κατὰ ταῦτα, τῷ ποιεῖν τι τοιοῦτον, ἢ ἔχειν, ἢ ἁρμόττειν τοιούτῳ, ἢ ἄλλως γέ πως λέγεσθαι πρὸς τὰ πρώτως λεγόμενα τέλεια.

## Sur la limite.

### Περὶ πέρατος.

Πέρας λέγεται τό τε ἔσχατον ἑκάστου, καὶ οὗ ἔξω μηδὲν ἔστι λαβεῖν πρώτου, καὶ οὗ ἔσω πάντα πρώτου, καὶ ὃ ἂν ᾖ εἶδος μεγέθους, ἢ ἔχοντος μέγεθος, καὶ τὸ τέλος ἑκάστου τοιοῦτον, ἐφ' ὃ ἡ κίνησις καὶ ἡ πρᾶξις, οὐκ ἀφ' οὗ· ὅ τε δὲ ἄμφω. καὶ ἀφ' οὗ καὶ ἐφ' ὅ, καὶ τὸ οὗ ἕνεκα, καὶ ἡ οὐσία ἑκάστου, καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ· τῆς γνώσεως γὰρ τοῦτο πέρας· εἰ δὲ τῆς γνώσεως, καὶ τοῦ πράγματος· ὥστε φανερὸν ὅτι ὁσαχῶς ἡ ἀρχὴ λέγεται, τοσαυταχῶς καὶ τὸ πέρας, καὶ ἔτι πλεοναχῶς· ἡ μὲν γὰρ ἀρχὴ πέρας τι· τὸ δὲ πέρας οὐ πᾶν ἀρχή.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Sur l'expression „καθό“.

Τὸ καθὸ λέγεται πολλαχῶς· ἕνα μὲν τρόπον, τὸ εἶδος καὶ ἡ οὐσία ἑκάστου πράγματος, οἷον καθὸ ἀγαθόν, αὐτὸ ἀγαθόν· | ἕνα δέ, ἐν ᾧ πρώτῳ πέφηνε γίνεσθαι, οἷον τὸ χρῶμα ἐν τῇ ἐπιφανείᾳ. Τὸ μὲν οὖν πρώτως λεγόμενον καθὸ τὸ εἶδός ἐστιν· δεύτερον δέ, ὡς ἡ ὕλη ἑκάστου. Καὶ τὸ ὑποκείμενον ἑκάστῳ πρῶτον· ὅλως δὲ τὸ καθὸ ἰσαχῶς καὶ τὸ αἴτιον ὑπάρξει· κατά τι γὰρ ἐλήλυθεν, ἢ οὗ ἕνεκα ἐλήλυθε, λέγεται, καὶ κατά τι παραλελόγισται ἢ συλλελόγισται, ἤτοι τὸ αἴτιον συλλογισμοῦ, ἢ παραλογισμοῦ. Ἔτι δὲ τὸ καθὸ τὸ κατὰ θέσιν λέγεται, καθὸ ἕστηκεν, ἢ καθὸ βαδίζει· πάντα γὰρ ταῦτα τόπον σημαίνει καὶ θέσιν· ὥστε καὶ τὸ καθ' αὑτὸ πολλαχῶς ἀνάγκη λέγεσθαι· ἕνα μέν, καθ' αὑτὸ τὸ τί ἦν εἶναι ἑκάστῳ, οἷον ὁ καλίας καθὰ τὸν καλίαν καὶ τὸ τί ἦν εἶναι καλίᾳ· ἕνα δέ, καὶ ὅσα ἐν τῷ τί ἐστιν ὑπάρχει, οἷον ζῷον ὁ καλίας καθ' αὑτόν· ἐν γὰρ τῷ λόγῳ ὑπάρχει τὸ ζῷον· ζῷον γάρ τι ὁ καλίας· ἕνα δέ, εἰ ἐν αὑτῷ δέδεκται πρώτῳ καὶ τῶν αὑτῷ τινί, οἷον ἐπιφάνεια λευκὴ καθ' αὑτήν. Καὶ ζῇ ὁ ἄνθρωπος καθ' αὑτόν· ἡ γὰρ ψυχὴ μέρος τι τοῦ ἀνθρώπου, ἐν ᾗ πρώτῃ τὸ ζῆν. Ἔτι, οὗ μὴ ἔστιν ἓν ἄλλο αἴτιον· τοῦ γὰρ ἀνθρώπου πολλὰ τὰ αἴτια, τὸ ζῷον δίπουν· ἀλλ' ὁ μὲν καθ' αὑτὸν ἄνθρωπος ὁ ἄνθρωπός ἐστιν. Ἔτι, ὅσα μόνῳ ὑπάρχει, καὶ ᾗ μόνον· διὸ τὸ κεχωρισμένον καθ' αὑτό.

f. 237v

## Sur la disposition, l'habitude, la passion.

Περὶ διαθέσεως. Περὶ ἕξεως. Περὶ πάθους.

Διάθεσις λέγεται τοῦ ἔχοντος μέρη τάξις ἢ κατὰ τόπον, ἢ κατὰ δύναμιν, ἢ κατ' εἶδος· θέσιν γάρ τινα δεῖ εἶναι, ὥσπερ καὶ τοὔνομα δηλοῖ, ἡ διάθεσις.

Ἕξις λέγεται ἕνα μὲν τρόπον, οἷον ἐνέργειά τις τοῦ ἔχοντος καὶ τοῦ ἐχομένου, ὥσπερ πρᾶξίς τις, ἢ κίνησις· ὅταν γὰρ τὸ μὲν ποιεῖ, τὸ δὲ ποιεῖται, ἔστι ποίησις μεταξύ. Οὕτω καὶ τοῦ ἔχοντος ἐσθῆτα καὶ τῆς ἐχομένης ἐσθῆτος ἔστι μεταξὺ ἕξις. Ταύτην μὲν οὖν φανερὸν ὅτι οὐκ ἐνδέχεται ἔχειν τὴν ἕξιν· εἰς ἄπειρον γὰρ βαδιεῖται, εἰ τοῦ ἐχομένου ἔσται ἔχειν τὴν ἕξιν. Ἄλλον δὲ τρόπον ἕξις λέγεται διάθεσις, καθ' ἣν ἢ εὖ, ἢ κακῶς διάκειται τὸ διακείμενον· ἢ καθ' αὑτό, ἢ πρὸς ἄλλο, οἷον ἡ ὑγεία ἕξις τις· διάθεσις γάρ ἐστι τοιαύτη. Ἔτι, ἕξις λέγεται, ἐὰν ᾖ μόριον διαθέσεως τοιαύτης· διὸ καὶ ἡ τῶν μερῶν ἀρετὴ ἕξις τίς ἐστι.

Πάθος λέγεται ἕνα μὲν τρόπον ποιότης καθ' ἣν ἀλλοιοῦσθαι ἐνδέχεται, οἷον τὸ λευκὸν καὶ μέλαν, καὶ γλυκὺ καὶ πικρόν, καὶ βαρύτης καὶ κουφότης, καὶ ὅσα ἄλλα τοιαῦτα· ἕνα δέ, αἱ τούτων ἐνέργειαι καὶ ἀλλοιώσεις.

ΙΩΑΝΝΙΝΑ 2006

# VI.

# Notes marginales sur la physique d'Aristote.*

## Sur le livre I.

Laur. 86/19 f. 47 Τὰ φυσικὰ ἀρχὰς ἔχει· τὰ ἀρχὰς ἔχοντα ἐπίστασθαι συμβαίνει ἐκ τοῦ τὰς ἀρχὰς αὐτῶν γνωρίζειν· τὰ ἄρα φυσικὰ ἐπίστασθαι συμβαίνει ἐκ τοῦ τὰς ἀρχὰς αὐτῶν γνωρίζειν. Ἀναγκαία ἄρα τῷ φυσιολογικὴν ἐπιστήμην ἕξοντι ἡ περὶ τῶν φυσικῶν ἀρχῶν γνῶσις. Ὅτι δέ εἰσιν ἀρχαὶ τῶν φυσικῶν, δείκνυσιν ὁ Θεόφραστος οὕτως· τὰ φυσικὰ σώματα σύνθετά εἰσι· πᾶν δὲ σύνθετον ἀρχὰς ἔχει τὰ ἐξ ὧν σύγκειται· ἅπαν γὰρ τὸ φύσει ἢ σῶμά ἐστιν, ἢ ἔχει σῶμα· ἄμφω δὲ σύνθετα: —

Τὴν ἀρχὴν ὡς κοινὸν λαβών, διεῖλε ταύτην εἴς τε τὰ κυρίως αἴτια, τὸ ποιητικὸν καὶ τὸ τελικόν, καὶ εἰς τὰ συναίτια λεγόμενα, οἷά εἰσι τὰ στοιχεῖα: —

Γνωριμώτερα ἡμῖν ἐστι τὰ συνθέτα καὶ συγκεχυμένα τῶν συντιθέντων αὐτὰ καὶ ἁπλῶν, διότι τὰ μὲν σύνθετα τῇ αἰσθήσει γνωρίζομεν, τὰ δὲ ἁπλᾶ τῷ νοΐ. Καὶ γὰρ ζῷον καὶ φυτὸν ἕκαστον, ὅτι ἄνθρωπος, καὶ ὅτι στοιχεῖον, ἑτοίμως γνωρίζομεν. Ὅτι μέντοι ἐκ τῶν τεσσάρων στοιχείων ταῦτα, καὶ πῶς μὲν ἔχοντα τὰ στοιχεῖα τόδε ποιεῖ, πῶς δὲ τόδε, οὐ τοῦ παντὸς εἰδέναι. Ὄντως δὲ τὰ κοινὰ καὶ καθόλου γνωριμώτερα τῶν καθ' ἕκαστον· τὸ γὰρ ἐκ διαστημάτων προσιὸν ῥᾷον γνῶναι, ὅτι ζῷον ἢ ἄνθρωπος, καὶ ὅτι ἄνθρωπος ἢ Σωκράτης. Ἀναλογεῖ δὲ τὸ καθόλου τῷ ὅλῳ· περιέχει γὰρ καὶ αὐτὸ τὰ μερικά, ὡς καὶ τὸ ὅλον τὰ μέρη, καὶ ἐν τῷ ζῴῳ ἀδιόριστός ἐστιν ἡ τῶν εἰδῶν τοῦ ζῴου διαφορά, ὡς ἐν τῷ ὅλῳ τὰ μέρη συγκεχυμένως διήρθρωται. Τῇ μὲν οὖν φύσει σαφέστερα καὶ γνωριμώτερα τὰ ἁπλούστερα ὡς εἰλικρινῆ καὶ ἄμικτα· ἡμῖν δὲ τὰ καθόλου καὶ συγκεχυμένα γνωριμώτερα:

Παρμενίδης καὶ Μέλισσος ὁ Σάμιος μίαν καὶ ἀκίνητον ἔλεγον τὴν ἀρχήν· ἀλλ' ὁ μὲν Παρμενίδης πεπερασμένην, πῦρ ἢ σέλας τι· ὁ δὲ Μέλισσος, ἄπειρον· Θαλῆς ὁ Μιλήσιος, μίαν καὶ κινουμένην καὶ πεπερασμένην, τὸ ὕδωρ μέντοι, ὅτι πάντα τῷ ὑγρῷ ζῇ. Ταύτης ἦν τῆς δόξης καὶ Ἵππων, ὁ λεγόμενος ἄθεος. Ἵππασος ὁ Μεταποντῖνος καὶ Ἡράκλητος ὁ Ἐφέσιος τὴν τοιαύτην ἀρχὴν ἔλεγον εἶναι τὸ πῦρ· Ἀναξίμανδρος Μιλήσιος, Θαλοῦ μαθητής, τὸ ἄπυρον, πρῶτος τοῦτο τοὔνομα κομίσας τῆς ἀρχῆς, λέγων ἑτέραν εἶναι τινὰ φύσιν αὐτὸ τῶν καλουμένων στοιχείων, ἐξ ἧς

---

* A = Laurentianus Plut. 86, cod. 19, f. 47-62v, copie autographe de Scholarios. Le texte même d'Aristote est de la main de Scholarios. Les notes marginales sont dispersées entre les ff. 47-62v et sont d'une lecture difficile.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πάντα γίνεται· Ἀναξιμένης μίαν καὶ ἄπειρον καὶ ὡρισμένην ἀέρα λέγων αὐτήν· οἱ δὲ πολλὰς καὶ πεπερασμένας· οἱ μὲν δύο, ὡς οἱ Στωϊκοί, Θεὸν καὶ ὕλην· ἔνιοι δὲ πῦρ καὶ γῆν, ἢ μᾶλλον φῶς καὶ σκότος· Ἀριστοτέλης, τρεῖς, τὴν ὕλην καὶ τὰ ἐναντία· Ἐμπεδοκλῆς, τὰ τέσσαρα στοιχεῖα, τὰς δὲ κυρίως ἀρχὰς ὑφ' ὧν ταῦτα κινεῖται, φιλίαν καὶ νεῖκος· οἱ δὲ ἀπείρους λέγοντες. Οἱ μὲν ἁπλᾶς ταύτας ἔλεγον καὶ μὴ ὁμογενεῖς, τὰς ὁμοιομερείας τιθέντες ἀρχάς, ὧν Ἀναξαγόρας ἦν, τὰς μὲν ὑλικὰς ἀρχὰς ἀπείρους ποιῶν, τὴν δὲ τῆς κινήσεως αἰτίαν καὶ γενέσεως μίαν, τὸν νοῦν. Λεύκιππος δὲ ἄπειρα καὶ ἀεὶ κινούμενα στοιχεῖα ἔλεγε τὰς ἀτόμους. Δημόκριτος δὲ ὁ Ἀβδηρίτης τὸ πλῆρες ἀρχὰς ἔθετο καὶ τὸ κενόν, ὧν τὸ μὲν ὄν, τὸ δὲ μὴ ὂν ἐκάλει. Τούτῳ καὶ Μητρόδωρος ἠκολούθησεν ὁ Χῖος:

|Ἕκαστος τῶν ψευδῆ δόξαν εἰσαγόντων ἢ φυλάττει τὰς ἀρχὰς τῶν f. 47v ὑποκειμένων τῇ δόξῃ, καὶ δεῖ πρὸς αὐτὸν τοὺς φυσικοὺς ἀγωνίζεσθαι· ἢ ἀναιρεῖ, καὶ οὐδεὶς πρὸς αὐτὸν λόγος τῷ φυσικῷ. Καὶ πάλιν, ἢ ἀποφαντικῶς αὐτὴν εἰσάγει, ἢ καὶ συλλογισμῷ δοκεῖ χρῆσθαι· κἄν τε γοῦν ἀποφαίνηται, κἄν τε δῆθεν συλλογίζηται ἀπεμφαῖνόν τι καὶ παράδοξον ἔχοντος τοῦ λόγου, οὐδεὶς ἂν πρὸς αὐτὸν τῷ φυσικῷ γένοιτο λόγος. Εἰ τοίνυν ὁ Παρμενίδου καὶ Μελίσσου λόγος καὶ τὰς ἀρχὰς ἀναιρεῖ καὶ παράδοξόν τι καὶ ἀπεμφαῖνον τίθεται, ἓν εἶναι λέγων τὸ ὄν, καὶ ἐν τῷ συλλογίζεσθαι βούλεσθαι, οὐ μόνον ψευδεῖς λαμβάνει τὰς προτάσεις, ἀλλὰ καὶ ἀσυλλογίστως συνάγει, διὰ ταῦτα πάντα οὐκ ἀνάξιος ἀντιλογίας εἴη, καὶ μάλιστα τῷ φυσικῷ, οὗ τὰς ἀρχὰς ἀναιρεῖ: —

Εἰ ἕν ἐστι, καὶ ἀκίνητον δεῖ εἶναι· κινούμενον γὰρ μεταβολὴν ἕξει πόθεν ποῖ, καὶ ἀπὸ διαθέσεως εἰς διάθεσιν, καὶ οὐκέτι ἕν. Ἀλλὰ καὶ ἄπειρον δεῖ εἶναι· εἰ γὰρ πεπερασμένον, ἕξει καὶ πέρας καὶ περατοῦν· τοιοῦτον δὲ ὄν, μέσον καὶ ἔσχατον ἕξει· ταῦτα δὲ ἔχον πᾶσα ἀνάγκη μέρη ἔχειν. Καὶ γὰρ ζῷα καὶ φυτὰ πάντα κινούμενα φαίνεται, καὶ τὰ ἁπλᾶ στοιχεῖα, καὶ οὐρανὸς καὶ ἄστρα. Τὸ δέ· „ἢ ἔνια" εἶπε διὰ τοὺς πόλους καὶ τὰ κέντρα τοῦ παντός, καὶ τοὺς ἄξονας, φύσει τε ὄντας καὶ ἀκινήτους τυγχάνοντας, ὑποτίθεται δὲ νῦν κινεῖσθαι, οὐ τὰς φυσικὰς ἀρχάς, ἀλλὰ τὰ φύσει ὧν ζητεῖ τὰς ἀρχάς:

Ὑποθέμενος τὸ ἀληθὲς πρὶν τὸ ψεῦδος ἐλέγξαι, τὴν αἰτίαν προστίθησιν, οὐκ ἄτοπον εἶναι λέγων, πρὸ τοῦ λῦσαι τοὺς ἐναντίους λόγους, ὑποθέσθαι τὰ ἐκ τῆς ἐναργείας μαρτυρούμενα· ὥσπερ οὐδὲ λύειν ἅπαντα ἀνάγκη.

Τὸ ἄπειρον ἐν τῷ ποσῷ ἐστιν ἢ ὡς ἐν γένει· τοῦ γὰρ ποσοῦ τὸ μὲν ἄπειρον, τὸ δὲ πεπερασμένον· ἢ ὅτι τοῦ ἀπείρου καθ' αὑτὸ τὸ πόσον κατηγορεῖται· ἄπειρον γάρ ἐστι ποσὸν ἀδιεξίτητον, εἰ λέγοι τις ἄπειρον τὸ πεπονθὸς τὴν ἀπειρίαν· καὶ πάλιν ἄπειρόν ἐστι πάθος ποσότητος, εἰ λέγοι τὴν ἀπειρίαν αὐτήν· διχῶς γὰρ τὸ ἄπειρον, ἥ τε ἀπειρία καὶ τὸ

Ε.Υ.Ζ. τμ.Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006